ἥμαρτόν μοι καὶ ἀπέστησαν ἀπ᾽ ἐμοῦ. [9]καὶ ἔσται εἰς εὐφροσύνην 9
καὶ εἰς αἴνεσιν καὶ εἰς μεγαλειότητα παντὶ τῷ λαῷ τῆς γῆς, οἵτινες
ἀκούσονται πάντα τὰ ἀγαθά, ἃ ἐγὼ ποιήσω, καὶ φοβηθήσονται καὶ
πικρανθήσονται περὶ πάντων τῶν ἀγαθῶν καὶ περὶ πάσης τῆς εἰ-
ρήνης, ἧς ἐγὼ ποιήσω αὐτοῖς. — [10]οὕτως εἶπεν κύριος Ἔτι ἀκου- 10
σθήσεται ἐν τῷ τόπῳ τούτῳ, ᾧ ὑμεῖς λέγετε Ἔρημός ἐστιν ἀπὸ
ἀνθρώπων καὶ κτηνῶν, ἐν πόλεσιν Ιουδα καὶ ἔξωθεν Ιερουσαλημ
ταῖς ἠρημωμέναις παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτήνη [11]φωνὴ 11
εὐφροσύνης καὶ φωνὴ χαρμοσύνης, φωνὴ νυμφίου καὶ φωνὴ νύμ-
φης, φωνὴ λεγόντων Ἐξομολογεῖσθε κυρίῳ παντοκράτορι, ὅτι χρη-
στὸς κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· καὶ εἰσοίσουσιν
δῶρα εἰς οἶκον κυρίου· ὅτι ἀποστρέψω πᾶσαν τὴν ἀποικίαν τῆς
γῆς ἐκείνης κατὰ τὸ πρότερον, εἶπεν κύριος. [12]οὕτως εἶπεν κύριος 12
τῶν δυνάμεων Ἔτι ἔσται ἐν τῷ τόπῳ τούτῳ τῷ ἐρήμῳ παρὰ τὸ
μὴ εἶναι ἄνθρωπον καὶ κτῆνος καὶ ἐν πάσαις ταῖς πόλεσιν αὐτοῦ
καταλύματα ποιμένων κοιταζόντων πρόβατα· [13]ἐν πόλεσιν τῆς 13
ὀρεινῆς καὶ ἐν πόλεσιν τῆς Σεφηλα καὶ ἐν πόλεσιν τῆς Ναγεβ καὶ
ἐν γῇ Βενιαμιν καὶ ἐν ταῖς κύκλῳ Ιερουσαλημ καὶ ἐν πόλεσιν Ιουδα
ἔτι παρελεύσεται πρόβατα ἐπὶ χεῖρα ἀριθμοῦντος, εἶπεν κύριος.
[1]Ὁ λόγος ὁ γενόμενος πρὸς Ιερεμιαν παρὰ κυρίου, καὶ Ναβου- 41
χοδονοσορ βασιλεὺς Βαβυλῶνος καὶ πᾶν τὸ στρατόπεδον αὐτοῦ
καὶ πᾶσα ἡ γῆ ἀρχῆς αὐτοῦ ἐπολέμουν ἐπὶ Ιερουσαλημ καὶ ἐπὶ
πάσας τὰς πόλεις Ιουδα, λέγων [2]Οὕτως εἶπεν κύριος Βάδισον 2
πρὸς Σεδεκιαν βασιλέα Ιουδα καὶ ἐρεῖς αὐτῷ Οὕτως εἶπεν κύριος
Παραδόσει παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας βασιλέως Βαβυ-
λῶνος, καὶ συλλήμψεται αὐτὴν καὶ καύσει αὐτὴν ἐν πυρί· [3]καὶ σὺ 3
οὐ μὴ σωθῇς ἐκ χειρὸς αὐτοῦ καὶ συλλήμψει συλλημφθήσῃ καὶ εἰς
χεῖρας αὐτοῦ δοθήσῃ, καὶ οἱ ὀφθαλμοί σου τοὺς ὀφθαλμοὺς αὐτοῦ
ὄψονται, καὶ τὸ στόμα αὐτοῦ μετὰ τοῦ στόματός σου λαλήσει, καὶ
εἰς Βαβυλῶνα εἰσελεύσῃ. [4]ἀλλὰ ἄκουσον τὸν λόγον κυρίου, Σεδε- 4
κια βασιλεῦ Ιουδα Οὕτως λέγει κύριος [5]Ἐν εἰρήνῃ ἀποθανῇ, καὶ 5

8 ημαρτον] -τοσαν S† | μοι $2^0$] μου A† | απ εμου] μου S*† || 9 εις $2^0$ > B† | μεγαλειοτητα] -λωσυνην S† | ποιησω bis] ποιω A | και πικρανθ. > A† || 10 ακουσθησ.] ακουσετε S*† | παρα] pr. και A† | ανθρωπον] -πους S || 11 και $1^0$ > S† | χαρμονης A | φωνη $3^0$ $4^0$] -νην BA | λεγοντος A† | κυριω] pr. τω *SLC* (in *O* sub ※) | εισοισουσιν ASc] εισουσιν (sic) B*S*Q†, οισουσιν Bc | δωρα] + αινεσεως A pl. | επιστρεψω S | πασαν την αποικ.] την αποικ. πασης A† | κατα το] καθα A† || 12 των δυναμ. > A* | ετι] οτι B | εσται] ακουσθησεται S*†: ex 10 | τουτω τω ερημω] τω ηρημωμενω τουτω A(†) | κτηνη A | και $2^0$ > B† | προβατων A† || 13 και εν $1^0$ ⌒ $2^0$ A† | πολεσιν ult.] pr. ταις S | ετι παρελευσ.] επιπαρ. A†

41 (𝔐 34) 1 προς ιερ./παρα κυρ.] tr. S: cf. 42 1 et 11 1 18 1 21 1 39 1 47 1 | επολεμουν] + αυτον B† || 3 συ > S | αυτου $1^0$] -των A†: sic $3^0$ S† | και εις χ. αυ. δοθ. > A | οι > B | και το(> A†) στομα — λαλησει > BS pau.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/731 UNIVERSITÄT LEIPZIG